sans te séparer de celui que tu engendres, lui qui est
tout entier en toi, et tout entier remplit tout de sa divinité.
Et toi, Père, tu demeures tout entier dans ton Fils
et tu gardes l'Esprit Divin qui procède de toi.
Il connaît tout, il remplit tout, car il est Dieu par essence
et il ne se sépare pas de toi, car c'est en toi qu'il prend sa source.
Toi, tu es la source des biens et ton Fils est le bien total
qui distribue ces biens avec justice à tous par l'Esprit,
avec miséricorde et bienveillance aux anges et aux hommes.
Mais nul d'entre les anges, ni jamais aucun homme, n'a vu
ou connu ta substance — car tu es incréé
et c'est toi qui as tout créé par ton seul commandement[1].

Il semble donc nécessaire de rétablir le vers que le ms. D est le seul à conserver. L'omission s'explique avec évidence par homoiotéleute.

65 a πῶς ἅπερ οὖν παρήγαγες δύναταί σε γινώσκειν,
ὅπως γεννᾷς τὸν σὸν Υἱόν, ὅπως ἀεὶ πηγάζεις,
ὅπως ἐκ σοῦ προέρχεται τὸ Πνεῦμα σου τὸ Θεῖον
καὶ οὐ γεννᾷς ὅλως ποτέ, ἅπαξ πάντως γεννήσας,
οὐδὲ πηγάζων κένωσιν ἢ μείωσιν ὑπέστης;
Μένεις γὰρ ὑπερπλήρης,
ὑπὲρ τὸ πᾶν ἀνελλιπής, ὅλος ἐν ὅλῳ κόσμῳ,
τῷ ὁρατῷ, τῷ νοητῷ, καὶ ἔξω αὖθις τούτων,
προσθήκην μὴ δεχόμενος, μηδ' ἔλλειψιν εἰς ἅπαν
καὶ εἶ ὅλος ἀκίνητος μένων πάντοτε οὕτως.
Ταῖς ἐνεργείαις οὖν ἀεὶ ἀεικίνητος πέλεις,
ἔχεις καὶ γὰρ ἀένναον, ὁ Πατήρ, ἐργασίαν·
ἐργάζεται καὶ ὁ σὸς Υἱὸς πάντων τὴν σωτηρίαν
καὶ προνοεῖ καὶ τελειοῖ καὶ συνέχει καὶ τρέφει,
ζωοποιεῖ, ζωογονεῖ ἐν Πνεύματι Ἁγίῳ.
"Οσα γὰρ βλέπει ὁ Υἱὸς τὸν Πατέρα ποιοῦντα,
ταῦτα ὁμοίως καὶ αὐτὸς ἐκτελεῖ, καθὼς εἶπεν.
Οὕτως ἀκίνητός τε ὤν, ἀεικίνητος τέ πως
οὔτε κινῇ, οὐχ ἱστασαι, οὔτε κάθησαι πάλιν,
ἀλλὰ ἀεὶ καθήμενος ἀεὶ ἵστασαι ὅλος·
ἱστάμενος δὲ αὖθις ἀεὶ κινεῖσαι ὅλος,
μὴ μεθιστάμενός ποτε· ποῦ γὰρ καὶ ἀπελεύσῃ;
Τὸ πᾶν, ὡς εἴρηται, πληρῶν ὑπὲρ τὸ πᾶν δὲ πέλων

B D H K (O R) Z — METRUM XV

65 a πῶς ἅπερ οὖν παρήγαγες >HKZ ‖ δύναταί D ‖ 70 M! ‖ μένεις τοίνυν ἀνελλιπὴς [μένεις+D ‖ 71 κόσμῳ+τε KZ ‖ 72 τούτων +ὑπάρχεις, Θεέ μου KZ ‖ 75 ἀεὶ> H ‖ 77 M! ‖ καὶ ὁ σὸς λόγος καὶ υἱὸς πάντων τὴν σωτηρίαν θέλων ἀεὶ ἐργάζεται ὡς ποιητὴς καὶ πλάστης D ‖ 81 ἐκτελεῖ καὶ αὐτὸς ∾ D ‖ 83 οὔτε κινῇ : οὐ κινῆσαι D ‖ οὔτε² : οὐδὲ DZ ‖ 84 ἀλλ' KZ ‖ ὅλως KZ ‖ 85 M! ‖ ἱστάμενος δὲ αὖθις : καὶ αὖθις δὲ ἱστάμενος D

76. Jn 5, 17 80. Jn 5, 19

1. Comment tu engendres ton Fils. Cf. le beau passage du premier discours *Sur l'Incompréhensibilité de Dieu:* « Je sais que Dieu a

Comment donc ces êtres que tu as créés pourraient-ils 65 a
te connaître,
comment tu engendres ton Fils[1], comment sans cesse tu es
source,
comment de toi procède ton Esprit divin
et tu ne l'engendres jamais, car tu as engendré une fois pour
toutes
et en étant source tu n'as subi ni appauvrissement, ni
diminution?
Car tu demeures surplénitude, 70
inépuisable au-delà de tout, tout entier dans le monde
entier,
le visible et le spirituel, mais aussi extérieur à eux.
Rien ne peut t'ajouter, rien ne peut te diminuer.
Tu es tout entier sans mouvement et tu le demeures
toujours.
Or dans tes opérations tu es toujours en mouvement 75
car tu possèdes, toi le Père, une activité incessante
et ton Fils opère aussi le salut de tous.
Il est providence et achèvement, soutien et nourriture,
il vivifie et il engendre dans l'Esprit Saint.
Tout ce que le Fils voit faire à son père, 80
Lui aussi semblablement le réalise, selon ses propres paroles.
Ainsi tu es à la fois immobile et d'une certaine manière
toujours en mouvement.
Tu ne te meux pas, tu n'es pas debout, tu n'es pas assis non
plus,
mais tu es toujours assis et debout tout entier
et, debout, tu es toujours en mouvement 85
sans jamais te déplacer, car où pourrais-tu partir?
Comme je l'ai dit, tu remplis tout, tu es au-delà de tout;

engendré un Fils, mais comment ? Je l'ignore. Je sais que l'Esprit sort de lui, mais comment ? Je ne le saisis pas » ; *PG* 48, 704 C, *SC* 28 *bis*, p. 113.

πρὸς ποῖον ἄλλον μεταβῆς ἢ τόπον ἢ καὶ χῶρον ;
Ἀλλ' οὐδὲ ἵστασαι, καὶ γὰρ ἀσώματος ὑπάρχεις,
ἁπλοῦς πληρῶν τὰ σύμπαντα, ἀσχημάτιστος πάντῃ,
ἄϋλος, ἀπερίγραπτος, ἄληπτος ὅλος ἦσθα ·
καὶ πῶς καθῆσθαι εἴπωμεν, πῶς πάλιν ἵστασθαί σε,
πῶς δὲ καθῆσθαι φήσωμεν ἢ ἐν ποίῳ σε θρόνῳ,
τὸν τῇ χειρὶ κατέχοντα οὐρανὸν καὶ τὴν γῆν δέ,
τὰ ὑπὸ γῆν τε ἅπαντα ἰσχύϊ σῇ κρατοῦντα ;
Ποῖος θρόνος χωρήσειεν ἢ ποταπὴ οἰκία,
ἢ πῶς ἢ ποῦ ἐνίδρυται ἢ ποίοις θεμελίοις,
ποίοις δὲ στύλοις αἴρεται, τίς ὅλως ἐννοήσει ;
Ἀβάλε τοῖς ἀνθρώποις γε καὶ πάσῃ κτιστῇ φύσει,
τῇ τὰ τοιαῦτα ἐρευνᾶν περὶ Θεοῦ τολμώσῃ,
πρὶν ἐλλαμφθῇ, πρὶν φωτισθῇ, πρὶν κατίδῃ τὰ θεῖα
καὶ θεωρὸς γενήσεται τῶν Χριστοῦ μυστηρίων,
ἃ οὔτε Παῦλος κατιδὼν ἴσχυσεν ὅλως φράσαι,
οὔτε Ἠλίας πρότερον, οὔτε Μωσῆς ὁ μέγας,
ἀλλὰ τὰς ἐντολὰς Θεοῦ καὶ θελήματα μόνα
κατηξιώθη καὶ αὐτὸς μαθεῖν καὶ ἄλλοις φράσαι.
Περὶ αὐτοῦ δὲ τοῦ Θεοῦ πλέον οὐδὲν ἀκοῦσαι
κατηξιώθη μαθεῖν ἢ ὅλως διδαχθῆναι,
εἰ μὴ ὅτι ὁ ὢν ἐστι Θεὸς πάντων καὶ κτίστης,
δημιουργὸς καὶ συνοχεὺς πάντων τῶν παραχθέντων.
Ἡμεῖς δέ, οἱ πανάθλιοι, οἱ σκότει καθειργμένοι

B D H K (O R) Z — METRUM XV

92 καθίσαι Z ‖ εἴπομεν H ‖ 93 φήσωμεν Z : φήσομεν codd. ‖ 94 τῇ : ἐν KZ ‖ 95 τε : δὲ KZ ‖ κρατοῦνται Z ‖ 97 ἢ ποῦ > Z ‖ 99 ἀβάλα D ἀβάλαι Z ‖ πᾶσι D ‖ 101 ἐλλαμφῆ HK ‖ κατίδοι codd. ‖ τὰ θεῖα κατίδοι ∾ D ‖ 103 οὐδὲ D ‖ 104> Z ‖ 105-106> KZ ‖ 108 M! ‖ κατηξιώθη+τοῦ D ‖ κατηξιώθη+ἢ H ‖ 110 συνοχεὺς : παροχεὺς KZ

94. Is. 66, 1 — 103. II Cor. 12, 2 — 104. III Rois 19, 9 s. et Ex. 19, 1 s. — 109. Ex. 3, 14

1. Ἐν ποίῳ θρόνῳ. Cette critique des expressions bibliques n'est pas propre à Syméon. On la trouve déjà dans S. Paul : « Dieu n'habite

vers quel autre lieu, vers quel autre endroit pourrais-tu aller?
Mais tu ne te mets pas debout : tu n'as pas de corps.
Dans ta simplicité tu remplis tout, totalement sans forme,
sans matière, sans limite, tu es totalement insaisissable.
Comment pourrions-nous dire que tu es assis et que tu te relèves?
comment dirons-nous que tu es assis, sur quel trône[1],
Toi qui tiens dans ta main le ciel et la terre
et qui domines de ta force tout ce qui est sous la terre?
Quel trône pourrait l'accueillir ou quelle sorte de demeure?
comment, où est-elle assise, sur quels fondements
sur quelles colonnes s'élève-t-elle? qui jamais l'imaginera?
Malédiction pour les hommes mais aussi pour toute nature créée!
qui oserait scruter de tels mystères au sujet de Dieu
avant d'être illuminé, éclairé, avant de contempler les réalités divines
et de devenir le spectateur des mystères du Christ,
ceux que Paul a contemplés mais qu'il n'a pu exprimer,
ni Élie avant lui, ni le grand Moïse[2]
qui n'a été jugé digne d'apprendre lui-même et d'enseigner aux autres
que les commandements de Dieu et ses volontés,
mais qui sur Dieu lui-même n'a rien entendu de plus,
ni appris ni reçu d'autre enseignement,
sinon que Dieu est celui qui est et le créateur de l'univers,
l'artisan et le soutien de tout ce qui a été fait.
Et nous, misérables, prisonniers des ténèbres,

pas dans des temples faits de main d'homme », *Act.* 17, 24-25 ; cf. 18, 14. Denys l'Aréopagite, dans les textes cités par la Préface, critique aussi ces expressions, *SC* 156, p. 116, l. 105-108.

2. Sur le témoignage de Paul, Syméon s'est exprimé déjà dans l'Hymne 21, 283 s. ; sur Moïse, cf. 19, 24. Tous ces textes étaient déjà utilisés dans la controverse contre Eunomius, cf. Index des citations bibliques, *SC* 28 *bis*, p. 325 s.

καὶ σκότος ὅλως πέλοντες ἡδονῶν ἀπολαύσει
καὶ ἀγνοοῦντες ἑαυτούς, ὅπου καὶ πῶς κρατοῦνται,
οἱ τεθαμμένοι πάθεσιν, οἱ τυφλοὶ καὶ νεκροί τε
τὸν ὄντα ὄντως ἄναρχον, ἄκτιστον Θεόν, μόνον
ἀθάνατον ὑπάρχοντα, ἀόρατον τοῖς πᾶσιν
ἐξερευνῶντες λέγομεν ὡς ἀκριβῶς εἰδότες
περὶ Θεοῦ, οἱ τοῦ Θεοῦ ὄντες κεχωρισμένοι.
Εἰ γὰρ δὴ καὶ ἡνῶντο αὐτῷ, οὐκ ἄν ποτε ἐτόλμων
περὶ αὐτοῦ λαλῆσαι βλέποντες, ὅτι πάντα
ἄφραστα, ἀκατάληπτα πέλουσι τὰ ἐκείνου·
οὐ μόνον τὰ ἐκείνου δέ, ἀλλὰ καὶ τῶν ἐκείνου
ἔργων τὰ πλείω ἄγνωστα ὑπάρχουσι τοῖς πᾶσι.
Τίς γὰρ καὶ ἑρμηνεύσειε, πῶς ἐξ ἀρχῆς με πλάττει,
ποίαις χερσὶ τὸν χοῦν λαβὼν ὁ ἀσώματος πάντῃ
στόμα μὴ ἔχων ὡς ἡμεῖς πῶς ἐνεφύσησέ μοι
καὶ εἰς ψυχὴν ἀθάνατον πῶς ἄρα γέγονέ μοι ;
Ἀπὸ πηλοῦ δέ, λέγε μοι, πῶς ὀστά, πῶς δὲ νεῦρα,
πῶς κρέας, πῶς δὲ φλέβες μοι, πῶς δερματίς, πῶς τρίχες,
πῶς ὀφθαλμοί, πῶς ὦτα δέ, πῶς χείλεα, πῶς γλῶσσα,
πῶς ὄργανα φωνητικά, ὀδόντων τε στερρότης
ἔναρθρον λόγον πνεύματι τρανῶς ἀποτελοῦσιν ;
Ἀπὸ ξηρᾶς δὲ καὶ ὑγρᾶς ὕλης, θερμῆς τε καὶ ψυχρᾶς
ζῷον με ἀπετέλεσε μίξει τῶν ἐναντίων.

B D H K (O R) Z — METRUM XV

113 ὅπου : ὅπως KZ ‖ 114 τεθαμένοι KZ ‖ 116 πᾶσι H ‖ 117 ἐξερευνοῦντες D ‖ 119 M! ‖ ἐτόλμων : λαλῆσαι D ‖ 120 M! ‖ λαλῆσαι : ἐτόλμησαν D ‖ 123 πᾶσιν D ‖ 124 ἑρμηνεύσειεν D ‖ 126 ἐνεφύθησέ D ‖ 127 γέγονέν D ‖ Σ περὶ ψυχῆς, ὅτι ἀθάνατος D ‖ 129 φλέβεις H ‖ 131 τε : δὲ KZ ‖ 133 M! ‖ τε> KZ ‖ καὶ²> D ‖ θερμῆς ψυχρᾶς τε ὕλης ∽ D ‖ θερμῆς καὶ ψυχρᾶς ὕλης ∽ Z ‖ 134 ἀπετέλεσεν D

125. Gen. 2, 7 126. I Cor. 15, 45

1. Il s'agit des quatre éléments de la physique antique. On lira

et qui sommes entièrement ténèbres par la jouissance des plaisirs,
nous qui ne savons pas où et comment nous-mêmes nous sommes retenus,
nous qui sommes ensevelis dans nos passions, aveugles et morts,
nous scrutons celui qui est vraiment sans principe,
le Dieu incréé, l'unique qui soit immortel,
l'invisible à tous, et, comme si nous savions avec précision,
nous parlons de Dieu, nous qui sommes séparés de Dieu.
Vraiment, s'ils étaient unis à lui, ils n'oseraient jamais
parler sur lui, car ils verraient que tout en lui
est inexprimable et incompréhensible.
Et non seulement ce qui est en lui, mais aussi la plupart
de ses œuvres sont inconnaissables pour tout le monde.
Qui en effet pourrait expliquer comment dès l'origine il me façonne,
avec quelles mains, lui qui est totalement incorporel, il a pris la poussière
lui qui n'a pas de bouche comme nous, comment a-t-il soufflé sur moi
et comment alors (son souffle) est devenu pour moi une âme immortelle?
De la boue, dis-moi, comment peuvent sortir et des os, et des nerfs
et de la chair, et des veines, et de la peau, et des cheveux
et des yeux, et des oreilles et des lèvres et une langue?
Comment les organes de la parole ou la dureté des dents
peuvent-elles clairement grâce au souffle réaliser un mot articulé?
A partir de la matière sèche et humide, chaude et froide[1],
il a fait de moi un être vivant, en mêlant les contraires.

avec intérêt sur ce sujet l'appendice III du *Traité de la Virginité* de Grégoire de Nysse par M. Aubineau, *SC* 119, p. 572-574.

Πῶς οὖν δεσμεῖται νοῦς σαρκί, πῶς σὰρξ δὲ τῷ ἀΰλῳ
νοΐ συνανακέκραται ἀμίκτως, ἀσυγχύτως,
ἀφύρτως τε νοῦς καὶ ψυχὴ προσφέρουσι τὸν λόγον,
τὸν ἐνδιάθετον λαλῶ, καὶ μένουσιν ὡσαύτως
ἄτμητα, ἀναλλοίωτα, ἀσύγχυτα εἰς ἅπαν ;
Ταῦτ' οὖν εἰδότες, ἀδελφοί, ἀνερμήνευτα εἶναι
καὶ πᾶσιν ἀκατάληπτα τὰ καθ' ἡμᾶς ὑπάρχειν
πῶς τὸν ἡμᾶς ποιήσαντα τοιούτους ἐκ μὴ ὄντων
ἐξερευνᾶν οὐ φρίττομεν ἢ ἐννοεῖν ἢ λέγειν
τὰ ὑπὲρ λόγον, ὑπὲρ νοῦν τὸν ἡμέτερον ὄντα ;
Κτίσματα ὄντες δὲ λοιπὸν φοβήθητε τὸν κτίστην
καὶ τὰς ἐκείνου ἐντολὰς μόνας ἐξερευνᾶτε,
τηρεῖν δὲ ταύτας σπεύσατε ὑμῶν πάσῃ δυνάμει,
εἰ βούλοισθε καὶ τῆς ζωῆς κληρονόμοι γενέσθαι !
Εἰ δὲ καταφρονήσετε τῶν αὐτοῦ προσταγμάτων
καὶ τὰ θελήματα αὐτοῦ παρίδετε, ὡς εἶπε,
καὶ ἀπειθήσετε αὐτῷ ἐν ἑνὶ πάντως λόγῳ,
οὐ δόξα, οὐκ ἀξίωμα, οὐ πλοῦτος ἐκ τοῦ κόσμου,
ἀλλ' οὐδ' ἡ γνῶσις ἡ μωρὰ τῶν ἔξω μαθημάτων,
οὐ σύνταξις, οὐ σύνθεσις καλλιεπείας λόγων
οὐδ' ἄλλο τι τῶν ἐπὶ γῆς πραγμάτων ἢ χρημάτων
ὠφέλειαν τὴν οἱανοῦν παρέξουσί γε τότε,
ὅτε κρινεῖ τὰ σύμπαντα καὶ πάντας ὁ Θεός μου.
Ἀλλ' ὁ παροφθεὶς λόγος παρ' ἡμῶν τοῦ δεσπότου

B D H K (O R) Z — METRUM XV

135 δὲ σὰρξ ∾ D ‖ Σ ὅρα τὴν ἀσύγχυτον τῶν φύσεων ἕνωσιν D ‖ 137 τε : δὲ Z ‖ προφέρουσι Z ‖ 138 λαλῶ : λαῷ Z ‖ 145 δὲ λοιπὸν : λογικὰ B ‖ 147 δὲ> B ‖ 148 βούλεσθε B ‖ γενέσθαι κληρονόμοι ∾ D ‖ 149 καταφρονήσητε B ‖ 150 παρίδητε codd. ‖ εἶπεν D ‖ 151 ἀπειθήσητε B ‖ 152 ἐκ : ὁ D ‖ 155 ἄλλο τι : ἀλλ' ὅτι D ‖ 158 M! ‖ λόγος παρ' ἡμῶν : παρ' ἡμῶν λόγος ὁ D

146-147. Jn 14, 21 — 148. Tite 3, 7 — 151. Matth. 5, 19 — 158-159. Jn 12, 48

Comment donc l'esprit est-il lié à la chair[1] ? Comment la chair
se mêle-t-elle à l'esprit immatériel, sans mélange ni confusion
et comment, sans se combiner, l'esprit et l'âme lui apportent-ils le verbe
— je parle de ce verbe qui nous est immanent — et demeurent-ils aussi
indivisibles, immuables, parfaitement inconfusibles ?
Si nous savons donc, frères, que ce qui nous concerne nous-mêmes
est inexplicable et pour tous incompréhensible,
comment, lui qui nous a fait ainsi, à partir de rien,
ne tremblons-nous pas de l'expliquer ou de l'imaginer
ou de parler de ce qui dépasse notre raison et transcende notre esprit ?
Puisque vous êtes des créatures, craignez donc maintenant votre créateur
et ne scrutez que ses commandements !
Hâtez-vous de les observer de toute votre puissance
si vous voulez aussi obtenir la vie en héritage !
Mais si vous méprisez ses ordres,
si vous négligez ses volontés, comme il l'a dit,
et lui désobéissez dans une seule de ses paroles,
alors ni gloire, ni dignité, ni richesse de ce monde
et pas davantage la connaissance frappée de folie des sciences profanes,
ni la correction ni la composition du beau langage,
ni aucune des activités ou des richesses de la terre
ne vous serviront absolument de rien
au moment où mon Dieu viendra juger tout l'univers et tous les hommes.
Mais la parole[2] du Maître que nous aurons négligée

1. Scholie : « Remarque l'union sans confusion des natures » D.
2. Cette conception du jugement est très johannique : « Moi, la Lumière, je ne suis pas venu pour condamner le monde, mais pour sauver le monde. Qui me rejette... a son juge : la parole que j'ai fait entendre, voilà qui le jugera au dernier jour. »

στήσεται κατὰ πρόσωπον ἑνὸς ἑκάστου τότε
καὶ ἕκαστον κατακρινεῖ μὴ φυλάξαντα τοῦτον.
Οὐκ ἔστι λόγος γὰρ ἀργός, ἀλλὰ ζῶν Θεοῦ λόγος
ζῶντος καὶ διαμένοντος εἰς αἰῶνας αἰώνων.
Λοιπόν, ἡ κρίσις ἔσεται οὕτως, καθὼς καὶ εἶπον,
ὁμοῦ τε καὶ τῆς ἐντολῆς, οἴμοι, προσυπαντώσης,
ἐλεγχούσης τὸν ἄπιστον ἢ πιστὸν πάντως ὄντα,
πειθήνιον ἢ ἀπειθῆ τοῖς λόγοις τοῦ δεσπότου,
γενόμενον ἐπιμελῶς ἢ καὶ ἀμεληθέντα,
καὶ οὕτως χωρισθήσονται οἱ ἄδικοι δικαίων,
οἱ ἀπειθεῖς τῶν τῷ Χριστῷ πάντως ὑπακουσάντων,
τῶν φιλοθέων οἱ νῦν ἀγαπῶντες τὸν κόσμον
καὶ τῶν εὐσπλάγχνων ἄσπλαγχνοι καὶ τῶν ἐλεημόνων
ἀνελεήμονες ὁμοῦ, καὶ στήσονται οἱ πάντες
γυμνοὶ καὶ πλούτου καὶ τιμῆς καὶ ἀρχῆς, ἧς ἐν κόσμῳ
ἀπήλαυσαν, καὶ ἑαυτούς, οἴμοι, κατακρινοῦσιν.
Αὐτοκατάκριτοι αὐτῶν γενόμενοι τοῖς ἔργοις
ἀκούσονται δ' · Ἀπέλθετε, μικροί τε καὶ μεγάλοι,
μὴ πειθαρχήσαντες ἐμοί, δεσπότῃ φιλανθρώπῳ !
Ἧς, δέσποτα, ῥυσθείημεν δικαίας καταδίκης
καὶ τῆς μερίδος τύχοιμεν τῶν προβάτων σου, λόγε,
δωρεάν, ὡς μὴ ἔχοντες ἐλπίδα σωτηρίας
ἐξ ἔργων, οἱ κατάκριτοι νῦν καὶ εἰς τοὺς αἰῶνας !

B D H K (O R) Z — METRUM XV

161 ἔστιν D ‖ 163 ἔσεται : ἔρχεται H ‖ οὕτω Z ‖ 168 οὕτω Z ‖ 169 τοῦ Χριστοῦ K Z ‖ 170 M ! ‖ καὶ [οἱ+D ‖ τε [οἱ+Z ‖ 176 ἀπέλθατε B H ‖ 181 αἰῶνας+δοξάζοντές σε τὸν Θεὸν καὶ ποιητὴν τῶν ὅλων D ‖ Σ στίχοι ρπδ' D ‖ Σ στίχοι ρπ' H

161. Héb. 4, 12 — 162. Is. 40, 8 — 168. Matth. 13, 49 — 173. Héb. 4, 13 — 175. Tite 3, 11 — 179. Math. 25, 33.

se dressera alors en présence de chacun d'entre nous
et condamnera quiconque ne l'a pas observée.
Car ce n'est pas une parole stérile, mais la parole vivante du Dieu
qui vit et qui demeure pour les siècles des siècles.
Du reste le jugement aura lieu comme je l'ai dit.
C'est en s'avançant, hélas, à notre rencontre que le commandement de Dieu
montrera celui qui est infidèle et celui qui est vraiment fidèle,
celui qui a obéi ou non aux paroles du Maître,
celui qui a été attentif et celui qui a négligé
et c'est ainsi que seront séparés les justes des injustes,
les désobéissants de ceux qui ont vraiment écouté le Christ,
ceux qui aiment maintenant le monde des amis de Dieu,
les cœurs durs des miséricordieux, et des pitoyables
les sans pitié ; et ils se tiendront tous,
dépouillés de la richesse, de l'honneur et du pouvoir dont ils ont joui
dans ce monde, et eux-mêmes, hélas ! se condamneront.
Devenus par leurs œuvres leurs propres condamnateurs,
ils entendront : « Retirez-vous, petits et grands,
vous qui m'avez désobéi, à moi le Maître ami des hommes ! »
Ô Maître, puissions-nous être arrachés à la juste condamnation
et obtenir le partage de tes brebis, ô Verbe,
gratuitement, puisque nous n'avons aucune espérance d'être sauvés,
nous qui sommes condamnés par nos œuvres, maintenant et à jamais !

XXXII

Ὅτι οἱ ἔνδοξοι τῆς γῆς καὶ σοβαροὶ τῷ πλούτῳ περὶ τὴν σκιὰν τῶν ὁρωμένων πλανῶνται, οἱ δέ γε τῶν παρόντων καταφρονήσαντες ἐν ἀπλανεῖ μεθέξει τοῦ Θείου γίνονται Πνεύματος

Ὑπὸ πιστῶν με, δέσποτα, λοιδορούμενον βλέπων
ὡς ὑπάρχοντα πλάνον τε καὶ προπεπλανημένον,
ὅτι τὸ Πνεῦμα λέγοιμι τῇ σῇ φιλανθρωπίᾳ
καὶ τοῦ πατρός μου ταῖς εὐχαῖς, τὸ Ἅγιον λαβεῖν με,
ἐλέησον καὶ χάρισαι λόγον, γνῶσιν, σοφίαν,
ἵνα οἱ πάντες γνώσωνται οἱ ἀντικείμενοί μοι,
ὅτι τὸ σὸν ἐντὸς ἐμοῦ λαλεῖ Πνεῦμα τὸ Θεῖον !
Δός μοι εἰπεῖν, ὡς εἴρηκας, δὸς κἀμοί, ὡς ὑπέσχου,
οἷς ἀντειπεῖν οὐδεὶς αὐτῶν ἢ ἀντιστῆναι, σῶτερ,
ἰσχύσει · σὺ γὰρ εἶ δοτὴρ τῶν ἀγαθῶν ἁπάντων.
Ἐγώ, Χριστέ, κἂν λέγωσι πλανᾶσθαι με, σὸν δοῦλον,
οὐδέποτε πεισθήσομαι βλέπων σε, τὸν Θεόν μου,

D H K (O R) X Z — METRUM XV

Tit. πλανῶνται τῶν ὁρωμένων ∾ HX ‖ Πνεύματος γίνονται ∾ HX ‖ 2 προπλανημένον HKX ‖ 3 λέγομαι Z ‖ 6 οἱ[1]> Z ‖ γνώσονται DH ‖ μοι : μου X ‖ 7 ἐμοῦ : μου H ‖ ὅτι ἐντὸς ἐμοῦ λαλεῖ τὸ Πνεῦμα σου τὸ θεῖον Z ‖ 11 λέγω σοι H

8-9. Matth. 10, 20 et Lc 21, 15

---

1. Devant les critiques que l'on oppose à ses prétentions d'avoir reçu l'Esprit de Dieu, Syméon se tourne vers son Seigneur.

Il le prie de ne pas permettre que les âmes de bonne volonté se laissent égarer et ignorent que, aujourd'hui encore, Dieu illumine

XXXII

Que les glorieux de la terre et tous ceux qui s'enorgueillissent de leur richesse poursuivent dans leur égarement l'ombre des choses visibles, tandis que ceux qui ont méprisé les choses présentes ne peuvent plus s'égarer, ayant part à l'Esprit divin[1].

Jette les yeux sur moi, ô Maître, à qui tes fidèles reprochent
d'être un charlatan totalement fourvoyé
parce que je dis que dans ta bonté pour les hommes
et par suite des prières de mon Père[2], j'ai reçu l'Esprit Saint.
Aie pitié, accorde-moi parole, connaissance, sagesse,
pour que tous mes adversaires reconnaissent
que c'est ton Esprit divin qui parle en moi.
Donne-moi de parler, comme tu l'as dit, donne-moi aussi,
comme tu l'as promis,
mon Sauveur, des paroles auxquelles aucun d'eux ne pourra
résister ou répondre : car c'est toi le donateur de tous les
biens.
Pour moi, ô Christ, même s'ils prétendent que moi ton
serviteur je m'égare,
jamais je ne le croirai, moi qui te vois, mon Dieu,

tous les hommes (v. 17). Si ses adversaires sont aveugles, c'est à cause de leur orgueil (1-70).

Dans une seconde partie il se tourne vers les « amis de Dieu » et les invite à purifier leur cœur dans l'humilité et la pénitence, pour être illuminés et connaître le mystère du Christ (70-114). Cet Hymne porte le nº 51 dans Z. Il ne se trouve pas dans Migne.

2. Il s'agit de son père spirituel Syméon le Pieux. Cf. *Vie*, ch. **5** et **19**.

καὶ καθορῶν τὸ ἄχραντον πρόσωπόν σου καὶ θεῖον
καὶ ἐξ αὐτοῦ δεχόμενος ἐλλάμψεις σου τὰς θείας,
καὶ λαμπόμενος ἐν πνεύματι νοεροὺς ὀφθαλμούς μου.
Ἀλλὰ μὴ δῴης, ὦ Θεέ, ἅπαντας πλανηθῆναι
τοὺς νῦν εἰς σὲ πιστεύοντας πλάνην τὴν ὀλεθρίαν
τοῦ μὴ πιστεύειν, ὅτι σὺ πάντας καὶ νῦν φωτίζεις
ἐλλάμπων τῆς θεότητος ἀκτῖσι σου τῆς θείας.
Σὺ γὰρ πολὺς ἐν οἰκτιρμοῖς, ἡμεῖς ἐν ἁμαρτίαις·
σὺ φῶς οἰκεῖς ἀπρόσιτον, σκότος ἡμεῖς δὲ πάντες·
σὺ ἔξω εἶ τῆς κτίσεως καὶ ἡμεῖς ἐν τῇ κτίσει.
Οἱ πλείους δὲ τῶν ἐξ ἡμῶν καὶ τῆς κτίσεως ἔξω
ἐν τῇ αἰσθήσει πέλουσιν ὅλως ἀναισθητοῦντες
καὶ παρὰ φύσιν ὄντες ἔξω εἰσὶ τῶν πάντων,
οἳ βλέποντες οὐ βλέπουσιν, ὁρῶντες οὐχ ὁρῶσιν
οὐδὲ Θεοῦ θαυμάσια ἐν νοερᾷ αἰσθήσει
καταλαβεῖν ἰσχύουσιν, ἀλλ' εἰσὶν ἔξω κόσμου,
μᾶλλον δ' ἐν κόσμῳ ὡς νεκροὶ καὶ πρὸ θανάτου εἰσὶ
καὶ πρὸ ἐξόδου κάτοχοι ἐν ᾅδῃ κατωτάτῳ.
Οὗτοι οὖν ὄντως πέλουσιν, οὓς ἡ γραφή γε λέγει,
οἱ ἔνδοξοι, οἱ πλούσιοι, οἱ σοβαροὶ τοῖς πᾶσιν,
οἱ καὶ δοκοῦντες εἶναι τι ἐκ τῶν τοιούτων ὅλως,
μὴ συνιδεῖν ἰσχύοντες τὴν ἑαυτῶν αἰσχύνην·

D H K (O R) X Z — METRUM XV

14 δεχόμενον HX ‖ 15 λαμπόμενος τοὺς νοεροὺς πνεύματι ὀφθαλμούς μου D ‖ 16 δώσῃς D ‖ 19 τῆς² : τὰς D ‖ 20 πολλῆς X ‖ ἡμεῖς +δ' Z ‖ ἁμαρτίῃς X ‖ 24 ὅλων KZ ‖ 25 M ! ‖ ὄντες+δὲ D ‖ 28 εἰσὶ H ‖ 29 M ! ‖ εἰσὶ : ὥσιν D ὦσι HX ‖ εἰσὶ καὶ πρὸ θανάτου ∾ Z ‖ 30 ἐξόδου : θανάτου KZ ‖ 31 γε : σὴ K σου Z

21. I Tim. 6, 16 — 26. Matth. 13, 13 — 32. I Cor. 4, 10 — 33. Gal. 6, 3

1. ἀναισθητοῦντες, cf. **26**, 56 ; parce qu'ils ont perdu toute sensation : ils ne voient plus, ils sont aveugles (v. 26) et même ils sont morts, comme Syméon l'a longuement développé, Hymne **23**, 456-470.

et qui contemple ton visage immaculé et divin
et qui en reçois tes illuminations divines,
et dont les yeux spirituels sont éclairés dans l'Esprit.
Mais ne me permets pas, ô Dieu, que soient dans l'égarement
tous ceux qui croient en toi maintenant, dans cet égarement mortel
de ne pas croire que même aujourd'hui tu illumines tous les hommes,
les éclairant des rayons de ta divine divinité.
Car tu es riche en miséricordes et nous en fautes.
Tu habites une lumière inaccessible et nous tous les ténèbres.
Tu es hors de la création, et nous dans la création,
mais la plupart d'entre nous vivent en dehors de la création,
car dans leurs sensations ils sont totalement insensibles[1]
et parce qu'ils ne sont pas conformes à leur nature, ils sont extérieurs à tout,
eux qui regardent sans regarder, qui voient sans voir
et ne sont pas capables de comprendre les merveilles de Dieu
dans une perception intelligible. Oui, ils sont hors du monde
ou plutôt dans ce monde ce sont des cadavres, déjà avant leur mort,
prisonniers de l'abîme de l'enfer avant le trépas.
Oui, ils sont vraiment ceux dont parle l'Écriture,
les glorieux, les riches, ceux qui sont arrogants avec tout le monde
et croient pour cela être quelque chose
mais ne peuvent avoir conscience[2] de leur propre honte.

2. Cette « inconscience » est la caractéristique de tous ceux qui sont plongés au fond de l'Hadès (30) par leurs péchés, **30**, 208-214.

κἂν γὰρ σοφίαν κέκτηνται ἐν ἑαυτοῖς τοῦ κόσμου,
δόξαν τε ὡς ἱμάτιον, οἴησιν τὴν ματαίαν
ὥσπερ σκηνὴν δομήσαντες φρεσὶ πεπλανημέναις
καὶ τὴν μὲν ἐνδυσάμενοι, τὴν δὲ ἐγκατοικοῦντες,
ὡς ἐν πυθμένι κάθηνται ἐν ᾅδου κατωτάτου
καὶ ἀγνοοῦσι τὸν Θεόν, ἀγνοοῦσι τὸν κόσμον
καὶ τὰ ἐν κόσμῳ ἅπαντα ποιήματα τοῦ κτίστου.
Τίς γὰρ τὸν κτίστην γνώσεται, πρὶν ἢ τὴν κτίσιν ἴδοι
ἐν λόγῳ οἷα λογικός, ἐν νοῒ νοερῶς δέ,
καὶ ἐν αἰσθήσει νοερᾷ νοερῶς κατοπτεύων,
— τίς δέ ; Ὁ καθορῶν πνευματικῶς διὰ Πνεύματος Θείου
μυστικῶς ἐλλαμπόμενος, ὁδηγούμενος θ' ἅμα —,
πρὸς γνῶσιν τὴν τοῦ ποιητοῦ ἀμυδρῶς πως ἀνέλθοι ;
Οὕτω γὰρ καθαιρόμενον τρανοτέραν τὴν γνῶσιν
λαβεῖν ἀξιωθήσεται, ὡς γραφὴ πᾶσα λέγει.
Οἱ ἐμπαθεῖς, ὡς ἔφην δέ, ἀπόνοιαν ἐκεῖνοι
φοροῦντες ὡς ἱμάτιον, τὴν οἴησιν ὡς δόξαν
ἐνδεδυμένοι τέρπονται καὶ γελῶσι τοὺς ἄλλους
καὶ παίζουσιν ἐν ταῖς σκιαῖς τὸν τῶν σκυλάκων τρόπον.
Κάρυον εἰ προσρίψειας καὶ κροτήσειε τρέχον,
ἐπιπηδῶσι, δράσσονται, περιχαίνουσι τοῦτο
καὶ σὺν αὐτῷ κυλίονται καὶ συσκιρτῶσιν ἅμα·
κἂν φραγελλίου σύρῃ τις πρὸ ποδῶν τὸ σχοινίον
συστρέφονται καὶ πίπτουσι καὶ πόδας εἰς ἀέρα

D H K (O R) X Z — METRUM XV

38 τὴν² : τῇ X ‖ ἐνκατοικοῦντες X ‖ 42 πρὶν — ἴδοι : πρὶν κατίδει τὴν κτίσιν D ‖ τὴν κτίσιν : τὸν κτίστην KZ ‖ 44 κατοπτέβων X ‖ 45 M ! ‖ δὲ : δ' D > KZ ‖ καθορῶν : ὁρῶν D ‖ 46 θ' > X ‖ θάμα D ‖ 48 γὰρ : καὶ D ‖ 57 φραγελλίου σύρῃ τις : φραγεσύρῃ τις HK φραγεσυρητῆς X διασύρῃ τις Z ‖ σχοινίον+ὡς μέγα τι προβλέποντες ἐπιτρέχουσι τοῦτο, ἐπὰν δὲ στρέψει ὁ κρατῶν συντόμως τὸ σχοινίον D ‖ Σ κατάλληλον τὸ παράδειγμα D

35. I Cor. 1, 20 41. Rom. 1, 20 49. Matth. 5, 8

Car même si en eux-mêmes ils possèdent la sagesse du monde
et sa gloire comme un manteau, parce que dans leurs esprits égarés
ils ont dressé leur vain orgueil comme une tente,
qu'ils se sont drapés de leur sagesse et ont habité leur orgueil,
ils sont assis dans l'abîme de l'enfer comme dans une fosse
et ils ne connaissent ni Dieu ni le monde,
ni dans ce monde toutes les œuvres du Créateur.
Qui en effet connaîtrait le Créateur avant qu'il n'ait vu la création
avec sa raison, parce que raisonnable, et dans son intelligence de manière intellectuelle
et que, la contemplant intellectuellement dans cette perception intellectuelle,
— de qui s'agit-il? de celui qui la considère spirituellement grâce à l'Esprit divin,
mystérieusement illuminé et en même temps conduit —,
il n'arrive de façon obscure à la connaissance de son créateur?
Il méritera ainsi, en effet, d'être purifié et de recevoir
une connaissance plus claire et c'est ce que dit toute l'Écriture.
Mais les prisonniers de leurs passions, comme je le disais,
qui se drapent de leur orgueil comme d'un manteau, vêtus de leur vanité
comme d'une gloire, se réjouissent et se rient des autres
et jouent au milieu de leurs ombres à la manière des petits chiens ;
si on leur jette une noix et qu'elle fait du bruit en roulant,
ils bondissent, ils s'en saisissent, la prennent dans leur bouche,
se roulent et bondissent avec elle.
Et si quelqu'un jette devant leurs pieds le jonc d'un fouet,
ils font la culbute, ils tombent, dressent leurs pattes en l'air,

ἐκτείνουσι καὶ πρόξενοι γέλωτος τοῖς ὁρῶσιν
ἀνθρώποις ἐπὶ τῇ αὐτῶν γίνονται πτώσει πᾶσιν.
Οὕτως οὖν καὶ οὗτοι δαίμονας τέρπουσιν ἀναισθήτως
ἐν ταῖς οἰκείαις πράξεσι καὶ ἤθεσιν ὡσαύτως·
οἱ γοῦν τοιοῦτοι, λέγε μοι ἐρωτῶντι, ὡς ἔχεις,
πῶς τὰ Θεοῦ μυστήρια διηγήσονται ἄλλοις;
Πῶς δὲ τὸ φῶς τῆς γνώσεως φωτισθῶσι κἂν ὅλως
καὶ ἄλλοις μεταδώσουσιν, εἴτε κρίσιν εὐθείαν
ἐν διακρίσει ἀληθεῖ ἐξάξουσι δικαίως,
οἱ σκότος ὡς ἱμάτιον ὄντες ἐνδεδυμένοι,
ἐν αἰσθήσει ἀναίσθητοι, ζωῆς νεκροὶ ἐν μέσῳ;
Ἀλλ', ὦ ὑμεῖς φιλόθεοι, ἀκούσατε ῥημάτων
ἀληθινῶν καὶ θαυμαστῶν, ὧν τὸ στόμα κυρίου
καὶ προλαβὸν ἐλάλησε καὶ νῦν λαλεῖ τοῖς πᾶσιν!
Εἰ μὴ δόξαν ἀπώσεσθε, εἰ μὴ ῥίψετε πλοῦτον,
εἰ μὴ ματαίαν οἴησιν ἐκδύσεσθε εἰς ἅπαν,
εἰ μὴ τῶν πάντων γένησθε ἔσχατοι ἐν τοῖς ἔργοις
καὶ ἐν αὐτοῖς τοῖς λογισμοῖς, μᾶλλον δὲ ταῖς ἐννοίαις
ἐσχάτους πάντων ἑαυτοὺς νομίζετε ὑπάρχειν,
οὐκ ἂν δακρύων ὀχετούς, οὐ κάθαρσιν σαρκός τε
κτήσησθε ἢ θεάσησθε πῶς ἐνεργοῦνται ταῦτα.
Λοιπόν, θρηνεῖτε ἑαυτούς, λοιπόν, μετανοεῖτε,
λοιπόν, θερμὰ προχέετε δάκρυα καθ' ἡμέραν,
ἵν' ὀφθαλμοὺς ἐκπλύνητε νοεροὺς τῆς καρδίας,
ἵνα τὸ φῶς θεάσησθε τὸ λάμψαν ἐν τῷ κόσμῳ,
ὃ λάμπον κράζει καὶ βοᾷ· Τὸ φῶς ἐγὼ τοῦ κόσμου

METRUM XV

D H K (O R) X Z

60 τῇ : τὴν X ‖ γίνον X ‖ 61 M! ‖ οὖν > D ‖ καὶ> KZ ‖ 64 τὰ : τοῦ Z ‖ 65 φωτισθῶσιν D ‖ 67 ἐξάξωσιν D ‖ 71 κύριε DHX ‖ 72 ἐλάλησεν D ‖ πᾶσι K ‖ 73 ἀπώσεσθε : ἀπόθεσθε Z ‖ 74 ἐκδύσασθε K ‖ 77 ἐσχάτως Z ‖ νομίζεται codd. ‖ 83 θεάσεσθαι D

64. Ps. 74, 3 65. Os. 10, 12 75. Matth. 19, 30 et Mc 10, 44
83-84. Jn 8, 12 et 9, 5

provoquant chez tous les hommes qui les voient
des éclats de rire devant leur chute.
Ces hommes-là, de même, réjouissent les démons sans s'en rendre compte
par leurs propres actions tout comme par leurs dispositions.
De tels gens, dis-moi, je t'interroge tel que voilà,
comment pourraient-ils parler aux autres des mystères de Dieu?
Comment seraient-ils éclairés même un peu de la lumière de sa connaissance
et pourraient-ils la communiquer à d'autres? ou bien donneraient-ils
avec justice un jugement droit dans une vraie discussion,
eux qui sont revêtus des ténèbres comme d'un manteau,
eux qui ont des sens et ne sentent rien, qui sont des morts vivants?
Mais vous, amis de Dieu, écoutez les paroles
véridiques et merveilleuses que la bouche du Seigneur
a déjà prononcées et prononce maintenant pour tous!
Si vous ne repoussez pas la gloire, si vous ne rejetez pas le richesse,
si vous ne vous dépouillez pas entièrement du vain orgueil,
si vous ne devenez pas les derniers de tous dans vos œuvres
et si vous ne vous estimez pas les derniers de tous
dans vos raisonnements mêmes, mieux dans vos pensées,
vous n'obtiendrez pas les ruisseaux de larmes ni la purification de la chair,
non, vous ne verrez pas comment cela se produit.
Maintenant, gémissez sur vous, maintenant faites pénitence,
maintenant versez chaque jour d'ardentes larmes
pour purifier les yeux spirituels de votre cœur,
pour pouvoir contempler la lumière qui a brillé dans le monde.
Elle qui éclaire proclame à grands cris : je suis la Lumière du monde,

ἤμην, εἰμὶ καὶ ἔσομαι καὶ θέλω καθορᾶσθαι !
Εἰς τοῦτο γὰρ ἐλήλυθα σωματικῶς ἐν κόσμῳ,
διπλοῦς ὁ εἷς γενόμενος καὶ μείνας εἷς ὡσαύτως,
ἵνα Θεόν με ὁρατὸν οἱ πιστῶς προσκυνοῦντες
καὶ τὰς ἐμὰς φυλάσσοντες ἐντολὰς ἀοράτως
ἐλλάμπονται καὶ νοερῶς μυούμενοι τὴν δόξαν
θεότητός μου τῆς φρικτῆς, σαρκός τε προσληφθείσης
καὶ τὸ διπλοῦν τῶν φύσεων μυστικῶς καθορῶντες
ὡς ἕνα με τότε Θεὸν ἀδιστάκτως ὑμνοῦσιν.
Ἄλλως οὐκ ἔνι γὰρ καλῶς ἐμὴν οἰκονομίαν,
ἐμήν τε συγκατάβασιν ἐπιγνῶναι καὶ φρίξαι
καὶ προσκυνῆσαι ὡς Θεὸν τὸν ἐν μορφῇ ἀνθρώπου
γενόμενόν με καὶ Θεὸν μείναντα ἀνεκφράστως·
δύο τὸ ἓν ἀμέριστα ὑποστάσει, οὐ φύσει,
εἷς οὖν Θεὸς ἐγώ εἰμι, τέλειος ἄνθρωπός τε,
ὁλοτελής, ὁλόκληρος, σάρξ, ψυχή, νοῦς καὶ λόγος·
ἄνθρωπος ὅλος καὶ Θεὸς ἐν δυσὶ ταῖς οὐσίαις,
διπλαῖς ὡσαύτως φύσεσι, διπλαῖς ταῖς ἐνεργείαις,
διπλαῖς καὶ ταῖς θελήσεσιν ἐν μιᾷ ὑποστάσει,
Θεὸς ὁμοῦ καὶ ἄνθρωπος εἷς εἰμι τῆς Τριάδος.
Οἱ οὕτω με πιστεύσαντες εἶναι καὶ ἐπιγνόντες
ἐν τῷ καθάραι ἑαυτοὺς σπουδῇ καὶ μετανοίᾳ
καὶ δυνηθέντες κατιδεῖν ἐν καθαρᾷ καρδίᾳ
καὶ μυηθῆναι νοερῶς ἐμὴν οἰκονομίαν,

D H K (O R) X Z — METRUM XV

90 ἐλλάμπωνται K ‖ 92 μυστικῶς : ἀκριβῶς K Z ‖ 93 τότε με ∾ D ‖ ἀνυμνῶσιν K Z ‖ 96 προσκυνῆσθαι X ‖ 98 δύω Z ‖ 105 ἐπιγνῶναι Z

86. Mc 1, 39 96. Phil. 2, 7

1. ἵνα ... ἐλλάμπονται. Dans le grec tardif ἵνα peut se construire avec l'indicatif. On en trouve maints exemples dans la LXX ou le Nouveau Testament : cf. *Gal.* 2.4, etc.

je l'étais, je le suis, et je le serai, et je veux que l'on me voie.
C'est pour cela que je suis venu corporellement dans le monde,
moi qui suis un, devenu double et pourtant toujours resté un,
pour que ceux qui m'adorent avec foi, moi le Dieu visible,
et qui gardent invisiblement mes commandements,
soient illuminés et qu'ils aient[1] la révélation spirituelle de la gloire
de ma divinité redoutable et de la chair que j'ai assumée,
qu'ils contemplent mystérieusement la dualité de mes natures[2]
et me chantent alors, sans douter, comme le Dieu unique.
Autrement en effet il est impossible de bien connaître mon *économie*
et ma condescendance et de la révérer,
et d'adorer comme Dieu celui qui a pris la forme d'un homme
et qui est demeuré Dieu d'une manière inexprimable.
L'Un est devenu deux, inséparables par la personne, mais non par la nature ;
je suis donc le Dieu unique et l'homme accompli
achevé, parfait, chair, âme, esprit et raison,
tout entier homme et Dieu dans mes deux essences
comme dans mes deux natures et mes deux activités
et mes deux vouloirs dans une seule personne.
A la fois Dieu et homme je suis un de la Trinité.
Ceux qui ont cru et reconnu que j'étais tel
en se purifiant eux-mêmes dans l'effort et la pénitence
et qui ont pu contempler dans un cœur pur
et recevoir la révélation spirituelle de mon *économie*,

2. Cf. « deux natures, un seul Dieu... parfait dans sa divinité... parfait dans son humanité ». C'est la foi de Chalcédoine. Les deux énergies et les deux volontés se réfèrent au troisième Concile de Constantinople (680-681) qui condamna le monothélisme.

αὐτοί με ἀγαπήσουσιν ἐξ ὅλης τῆς καρδίας,
αὐτοὶ δὲ καὶ φυλάξονται πάσας τὰς ἐντολάς μου
καταπλαγέντες τὴν ἐμὴν ἄπειρον εὐσπλαγχνίαν,
αὐτοί μοι καὶ συνέσονται καὶ κοινωνοὶ τῆς δόξης,
τῆς τοῦ Πατρός μου ἔσονται εἰς αἰῶνας αἰώνων ·
ἀμήν.

METRUM XV

D H K (O R) X Z
113 ἀμήν> X Z ‖ Σ στίχοι ριε' D H

ceux-là m'aimeront de tout leur cœur
et garderont tous mes commandements,
stupéfaits de ma miséricorde sans bornes,
ils seront aussi avec moi et partageront la gloire,
celle de mon Père, pour les siècles des siècles. Amen.

109. Matth. 22, 37 112. I Pierre 5, 1

XXXIII

Περὶ θεολογίας, καὶ ὅτι οἱ τὸ κατ' εἰκόνα φυλάξαντες τὰς πονηρὰς δυνάμεις τοῦ ἄρχοντος τοῦ σκότους καταπατοῦσιν, οἱ δ' ἄλλοι, οἷς ἐμπαθὴς ὁ βίος, ὑπ' αὐτοῦ κρατοῦνται καὶ βασιλεύονται

Φῶς ὁ Πατήρ, φῶς ὁ Υἱός, φῶς τὸ Ἅγιον Πνεῦμα.
Βλέπε τί λέγεις, ἀδελφέ, βλέπε μὴ παρασφάλῃς !
Ἓν γὰρ τὰ τρία φῶς εἰσιν, ἓν, οὐ κεχωρισμένον,
ἀλλ' ἡνωμένον ἐν τρισὶ προσώποις ἀσυγχύτως.
Θεὸς γὰρ ἀδιαίρετος ὅλως ἐστὶ τῇ φύσει,
καὶ τῇ οὐσίᾳ ἀληθῶς ὑπὲρ πᾶσαν οὐσίαν·
οὐ τῇ δυνάμει τέμνεται, οὐ τῇ μορφῇ, οὐ δόξῃ,
οὐ τῇ ἰδέᾳ, ὅλος γὰρ ἁπλοῦν φῶς καθορᾶται.
Ἐν τούτοις ἓν τὰ πρόσωπα, ἓν αἱ τρεῖς ὑποστάσεις·
τὰ τρία γὰρ ἐν τῷ ἑνί, ἓν τὰ τρία δὲ μᾶλλον,
τὰ τρία μία δύναμις, τὰ τρία μία δόξα,

D H K (O R) Z — METRUM XV
1 καὶ [τὸ+ Z ‖ 8 ἁπλοῦς K Z

1. I Jn 1, 5

---

1. Syméon, dans cet Hymne, nous livre le secret de la victoire sur les puissances du mal. Dieu est Lumière, la Lumière du monde, c'est-à-dire des hommes (v. 25). Le Prince des ténèbres a perdu la lumière et règne sur ceux qui sont dans l'obscurité. Celui qui ne voit pas la Lumière est donc son esclave, mais toute âme qui voit la Lumière foule aux pieds le Prince des ténèbres (v. 44).

Dans une seconde partie, la plus longue (45-145), Syméon nous explique ce qu'il entend par lumière. Il ne s'agit évidemment pas

XXXIII

Sur la théologie : que ceux qui ont gardé la conformité à l'image de Dieu foulent aux pieds les puissances perverses du Prince des ténèbres ; tandis que les autres, vivant au gré des passions, sont sous son pouvoir et sous son empire[1].

Lumière est le Père, lumière le Fils, lumière l'Esprit-Saint[2].
Regarde ce que tu vas dire, mon frère, regarde pour ne pas tomber !
Les trois en effet sont une seule Lumière, unique, non séparée
mais unifiée en trois Personnes, sans confusion.
Dieu en effet est parfaitement indivisible par nature,
et par son essence il dépasse véritablement toute essence.
Il n'est divisé ni dans sa puissance, ni dans sa forme, ni dans sa gloire
ni dans son aspect : il se laisse voir tout entier en effet comme une lumière simple.
Là les Personnes sont Un, les trois hypostases sont Un.
Les trois en effet sont dans l'Un ou mieux les Trois sont Un.
Les Trois sont une seule puissance, les trois, une seule gloire,

d'une lumière visible, mais de la lumière de l'âme. Il ne s'agit pas non plus des vertus : elles ne sont que le combustible nécessaire pour le feu divin qui les transforme en lumière, et cette lumière illumine d'abord celui qui la possède, mais aussi ceux qui sont dans les ténèbres de la vie. Cet Hymne porte le n° 43 dans Z. Il ne se trouve pas dans Migne.

2. Syméon affirme que la Trinité entière, et chacune de ses Personnes est lumière. Il semble ici mettre en garde celui qui, d'après les textes de S. Jean (*Jn* 3, 19 ; 8, 12 ; 12, 46), croirait que le Verbe seul est lumière, cf. v. 13.

τὰ τρία μία φύσις γε, οὐσία καὶ θεότης.
Αὐτὰ καὶ φῶς τὸ ἓν εἰσιν, ὃ φωτίζει τὸν κόσμον,
οὐχὶ τὸν κόσμον, ἄπαγε, τὸν ὁρώμενον τοῦτον
— οὐδὲ γὰρ ἔγνωκεν αὐτόν, οὐδὲ δύναται γνῶναι
ὁ κόσμος ὁ ὁρώμενος οὐδ' οἱ τοῦ κόσμου φίλοι ·
ὁ γὰρ τὸν κόσμον ἀγαπῶν ἐχθρὸς Θεοῦ τυγχάνει —,
ἀλλ' ὃν αὐτὸς πεποίηκεν ἄνθρωπον κατ' εἰκόνα
αὐτοῦ καὶ καθ' ὁμοίωσιν, κόσμον ἡμεῖς καλοῦμεν,
ὅτι κοσμεῖται ἀρεταῖς, ἄρχει τῶν ἐπιγείων,
καθὼς ἐκεῖνος τοῦ παντὸς ἔχει τὴν ἐξουσίαν,
καὶ βασιλεύει τῶν παθῶν τοῦτο τὸ κατ' εἰκόνα
καὶ ὑποτάσσει δαίμονας δημιουργοὺς κακίας,
καταπατεῖ τὸν δράκοντα, τὸν ἀρχαῖον, τὸν μέγαν,
ὥσπερ στρουθίον εὐτελές · καὶ πῶς ; Ἄκουσον, τέκνον !
Ὁ ἄρχων οὗτος ὁ πεσὼν τοῦ φωτὸς τῇ στερήσει
ἐν σκότει γέγονεν εὐθὺς καὶ ἔστι μετὰ πάντων
τῶν σὺν αὐτοῦ ἐξ οὐρανοῦ πεσόντων ἐν τῷ σκότει
καὶ βασιλεύει ἐν αὐτῷ, τῷ σκότει πάντως λέγω,
τῶν κρατουμένων ἐν αὐτῷ δαιμόνων καὶ ἀνθρώπων.
Πᾶσα ψυχὴ μὴ βλέπουσα φῶς τῆς ζωῆς τὸ λάμπον
ἔν τε ἡμέρᾳ καὶ νυκτὶ ὑπ' αὐτοῦ τιμωρεῖται,
τιτρώσκεται, δαμάζεται, ἄγεται καὶ δεσμεῖται
καὶ βέλεσι τῶν ἡδονῶν κεντᾶται καθ' ἡμέραν.
Εἰ καὶ δοκεῖ ἀνθίστασθαι, εἰ καὶ δοκεῖ μὴ πίπτειν,

METRUM XV

D H K (O R) Z

13 εἰσι Z ‖ ὃ : καὶ KZ ‖ 15 ἔγνωσκεν Z ‖ 29 πάντων Z ‖ 32 τε : τῇ D

13. Jn 1, 9 et 8, 12 15. Jn 1, 10 et I Cor. 2, 14 17. Jac. 4, 4
18. Gen. 1, 26 23. Lc 10, 17 24. Ps. 90, 13 et Apoc. 12, 9
28. Lc 10, 18 et Is. 14, 12

1. Κόσμον ... ὅτι κοσμεῖται. Le jeu de mots est difficilement traduisible. Κόσμος en effet signifie à la fois monde et ornement. Le jeu de mots n'est pas nouveau. Pour rester dans un contexte

les trois une seule nature, essence et divinité.
Ils sont aussi cette unique lumière, qui éclaire le monde
non pas ce monde, loin de moi ! ce monde visible
— car il n'a pas connu Dieu et ne peut pas le connaître
ce monde visible, ni non plus les amis du monde,
car celui qui aime le monde est l'ennemi de Dieu —;
mais c'est l'homme qu'il a créé à son image,
et à sa ressemblance, que nous appelons le monde[1],
parce qu'il est orné de vertus, et commande aux êtres terrestres
de même que Dieu a puissance sur l'univers,
et que (l'homme), dans sa conformité à l'image (divine),
règne sur ses passions,
soumet les démons artisans du vice,
foule aux pieds le Serpent antique, le grand Serpent
comme un vulgaire moineau[2] — Comment ? écoute, mon enfant !
Ce Prince (des Ténèbres) déchu, pour avoir perdu la lumière,
est aussitôt tombé dans l'obscurité et il s'y trouve avec tous
ceux qui avec lui sont tombés du ciel dans les ténèbres
et il y règne, je veux dire dans les ténèbres,
sur les démons et les hommes qui y sont retenus.
Toute âme qui ne voit pas la lumière de la vie, qui brille
jour et nuit, il la châtie,
il la blesse, il la dompte, il la traîne, il l'enchaîne
et la transperce chaque jour des traits des plaisirs.
Même si elle veut résister, même si elle veut ne pas tomber,

patristique, on le trouve déjà chez Théodote cité par Clément : ὅτε γὰρ ἐφωτίσθη ὁ ἄθρωπος, τότε εἰς τὸν κόσμον ἦλθεν, τουτέστιν ἑαυτὸν ἐκόσμησεν, *Extr. Théodote* 41, *PG* 9, 677 D ; *SC* 23, p. 148.

2. On peut hésiter sur le sens : comme on écrase un simple moineau ou bien : comme le moineau (échappe au serpent). C'est sans doute le premier sens qu'il faut retenir. Au v. 41, le vainqueur foule le serpent ὥσπερ φύλλα.

ἀλλ' οὖν ἰδρῶτι σὺν πολλῷ, κόπῳ, πόνῳ καὶ μόχθῳ
ἔχει ἀεὶ τὸν πόλεμον ἀκατάλλακτον τούτου.
Ψυχὴ δὲ πᾶσα ἡ τὸ φῶς καθορῶσα τὸ θεῖον,
ὅθεν ἐκεῖνος πέπτωκε, καταφρονεῖ ἐκείνου
καὶ λαμπομένη παρ' αὐτοῦ φωτὸς τοῦ ἀπροσίτου
καταπατεῖ τὸν ἄρχοντα τοῦ σκότους ὥσπερ φύλλα
καταπεσόντα ἐπὶ γῆν ἀφ' ὑψηλοῦ τοῦ δένδρου.
Ἐν σκότει γὰρ τὴν δύναμιν ἔχει καὶ ἐξουσίαν,
ἐν τῷ φωτὶ δὲ γίνεται πτῶμα νεκρὸν εἰς ἅπαν.
Φῶς δὲ ἀκούων, πρόσεχε ὁποῖον φῶς σοι λέγω,
μὴ ὑπολάβῃς λέγειν με τὸ φῶς τὸ τοῦ ἡλίου!
Καὶ γὰρ ὁρᾷς ἐν τῷ φωτὶ τούτου πολλοὺς ἀνθρώπους
ἐξαμαρτόντας ὡς ἐγώ, δεινῶς μαστιζομένους,
πίπτοντας καὶ ἀφρίζοντας μεσούσης τῆς ἡμέρας
καὶ ἀοράτως πάσχοντας ἐκ πονηρῶν πνευμάτων,
καὶ τοῦ ἡλίου λάμποντος οὐδὲν ἐκ τούτου πλέον
ἐγγίνεται τὸ ὄφελος τοῖς δαίμοσιν ἐκδότοις.
Τοίνυν οὐ λέγω σοι τὸ φῶς τοῦ αἰσθητοῦ ἡλίου,
οὐ τῆς ἡμέρας, ἄπαγε, οὐ λυχνιαῖον ὅλως,
οὐ τῶν ἀστέρων τῶν πολλῶν, οὐδὲ σελήνης φάος,
οὐκ ἄλλου ὅλως ὁρατοῦ ἀπαύγασμα φωτός σοι
παραδηλῶν ἐνέργειαν τοιαύτην ὅλως ἔχειν.
Τὰ αἰσθητὰ τοὺς αἰσθητοὺς ὀφθαλμοὺς καὶ γὰρ μόνους
φωτίζουσι καὶ λάμπουσι φῶτα καὶ βλέπειν μόνον
παρέχουσι τὰ αἰσθητά, τὰ νοητὰ οὐ μέντοι.
Πάντες οὖν, ὅσοι βλέπουσι τὰ αἰσθητὰ καὶ μόνον,
τυφλοί εἰσι τὰ νοερὰ ὄμματα τῆς καρδίας.

D H K (O R) Z — METRUM XV

36 πόνῳ : μόνῳ K Z ‖ 38 ψυχὴ : οὐχὴ D ‖ 39 πέπτωκεν D ‖ 46 τὸ² > Z ‖ 54 λυχνιαίου H ‖ 56 οὐκ ἄλλου : οὐ κάλλους Z ‖ 57 παραδηλῶ Z

55. I Cor. 15, 41

1. πτῶμα. Toujours la même image. Satan est un déchu et un

du moins c'est au milieu des sueurs, des fatigues, des peines, des douleurs
qu'elle soutient sans cesse la guerre sans merci qu'il lui fait.
Mais toute âme qui contemple la lumière divine
d'où lui-même est tombé, le méprise ;
illuminée par la lumière inaccessible elle-même,
elle foule aux pieds ce Prince des Ténèbres comme les feuilles
tombées à terre d'un arbre élevé.
C'est dans les ténèbres qu'il possède pouvoir et puissance,
mais dans la lumière il n'est plus qu'un cadavre à terre[1].
Lorsque tu m'entends parler de lumière, attention à celle dont je parle!

Ne va pas croire que je parle de celle du soleil,
car tu vois que dans sa lumière bien des hommes
pèchent, comme moi, sont rudement flagellés,
tombent et écument, en plein jour,
et subissent d'invisibles tourments de la part des esprits pervers.

Le soleil a beau briller, ceux qui se sont livrés aux démons
n'en retirent aucun avantage.
Je ne te parle donc pas de la lumière de ce soleil sensible
ni de celle du jour, loin de là ! ni de celle d'une lampe,
ni de la lumière des astres nombreux, ni de celle de la lune,
je veux te montrer que l'éclat d'aucune lumière visible
ne possède vraiment une puissance pareille.
C'est que les lumières sensibles n'illuminent que les yeux de nos sens,
ils n'éclairent et ne font voir
que les objets sensibles, mais pas les objets intelligibles.
Donc tous ceux qui regardent les réalités sensibles et celles-là seulement
sont aveugles, privés des yeux spirituels du cœur.

cf. v. 26, 29. C'est du reste le langage de l'Écriture (*Is.* 14, 12 ; *Lc*, 10 18).

Τὰ νοερὰ οὖν ὄμματα τῆς νοερᾶς καρδίας
καὶ νοερῷ φωτίζεσθαι ὀφείλουσι φωτί γε.
Εἰ γὰρ ὁ ἔχων σώματος τὰς κόρας ἐσβεσμένας
ὅλος ὑπάρχει σκοτεινός, ἀγνοῶν ποῦ ὑπάρχει,
πόσῳ γε μᾶλλον ὁ ψυχῆς ἔχων τυφλὸν τὸ ὄμμα
ἐσκοτισμένος ἔσεται, καὶ σώματι καὶ πράξει
μικροῦ νενεκρωμένος δὲ καὶ πνεύματι ὑπάρξει ;
Νόησον τοίνυν ἀκριβῶς, ὁποῖον φῶς σοι λέγω !
Οὐ λέγω σοι τὴν πίστιν γάρ, οὐ λέγω τὴν τῶν ἔργων
πρᾶξιν οὐδὲ μετάνοιαν οὐδὲ νηστείαν πάντως,
ἀκτημοσύνην οὐδαμῶς, οὐ σοφίαν, οὐ γνῶσιν,
ἀλλ' οὐδὲ τὸ διδάσκειν· τούτων γὰρ οὐδέν ἐστιν,
οὐ φῶς οὐδὲ ἀπαύγασμα φωτός, οὗπερ σοι λέγω,
οὐδέ γε ἡ εὐλάβεια ἡ ἔξωθεν, οὐ σχῆμα
τὸ ταπεινὸν καὶ εὐτελές· πάντα γὰρ ταῦτα πράξεις
καὶ ἐντολῶν ἐκπλήρωσις, εἴ γε καλῶς τελοῦνται
καὶ ἐκπληροῦνται, ὡς αὐτὸς ἐντέλλεται ὁ κτίστης.
Τὰ δάκρυα κατὰ πολλοὺς ἐκχέονται τοὺς τρόπους
καὶ ἢ ἐπωφελῆ εἰσιν ἢ καὶ βλάπτουσι μᾶλλον·
τέως αὐτὰ καθ' ἑαυτὰ ἀνόνητα εἰς ἅπαν.
Ἡ δ' ἀγρυπνία μοναχῶν οὐκ ἔστι πάντως μόνων,
ἀλλὰ καὶ τοῦ κοινοῦ λαοῦ ἔργοις ἀσχολουμένων,
καὶ ἀγρυπνοῦσι πλείονα ὑφαίνουσαι γυναῖκες,
χρυσοχόοι τε καὶ χαλκεῖς ἢ μοναστὰι οἱ πλεῖστοι,
καὶ διὰ τοῦτο λέγομεν ὅτι τούτων ἁπάντων
τῶν ἐναρέτων πράξεων οὐδὲν φάος καλεῖται.
Ὅπου καὶ συναγόμεναι εἰς ἓν αἱ πᾶσαι πράξεις
καὶ ἀρεταὶ ἀνελλιπῶς φῶς οὐκ εἰσὶ τὸ θεῖον,

D H K (O R) Z — METRUM XV

66 ὅλως H ‖ 74 M! ‖ διδάσκειν+τε D ‖ οὐδὲν γάρ ∾ D ‖ 79 ἐντέλεται DK ‖ 81 ἢ [καὶ¹+Z ‖ 83 ἔστιν D ‖ μόνον KZ ‖ 85 ὑφαίνουσι DH ‖ 86 μοναστὰι : μοναχοὶ D ‖ 89 συναγόμενοι D ‖ πράξεις πᾶσαι ∾ D

Il faut donc que les yeux spirituels du cœur spirituel
soient aussi illuminés d'une lumière spirituelle.
Si celui dont les prunelles du corps sont éteintes
se trouve tout entier dans les ténèbres, ignorant où il se trouve,
à combien plus forte raison, celui dont l'œil de l'âme est aveugle
sera plongé dans les ténèbres et, dans son corps, dans son activité
et dans son esprit, presque entièrement mort?
Considère donc avec soin de quelle lumière je te parle !
Car ce n'est pas de la foi que je te parle, ni de la pratique des œuvres,
ni de la pénitence, ni du jeûne simplement,
ni de la pauvreté, ni de la sagesse, ni de la connaissance
et pas même de (les) enseigner ; aucune de ces vertus en effet
n'est ni la lumière ni l'éclat de cette lumière dont je parle,
ni la piété extérieure ni une attitude
humble et pauvre : car tout cela, ce sont des actions
et l'accomplissement des commandements, si du moins, elles sont bien faites
et si elles sont accomplies comme le Créateur lui-même le demande.
Les larmes, on les verse de bien des manières,
elles sont ou bien très utiles, ou au contraire nuisibles,
à tel point les larmes par elles-mêmes sont totalement sans valeur.
Les veilles ne sont pas propres aux seuls moines
mais aussi aux gens du peuple ordinaire qui sont pris par leur travail.
Les femmes qui tissent, les fondeurs d'or et les orfèvres
veillent plus que la plupart des moines.
Et voilà pourquoi nous disons que rien
de toutes ces actions vertueuses ne s'appelle la lumière.
Même réunies ensemble : toutes les actions
et toutes les vertus en bloc ne sont pas la lumière divine,

διίστανται γὰρ ἐξ αὐτοῦ πᾶσαι πράξεις ἀνθρώπων,
καὶ αὗται μὲν αἱ παρ' ἡμῶν ἐκπληρούμεναι πράξεις
τὸ καθ' ἡμᾶς πρὸς τοὺς λοιποὺς ζῶντας ἐν πονηρίᾳ
φῶς λέγονται πρὸς τὰ καλὰ κἀκείνους ὁδηγοῦσαι
καί, ὅπερ ἔστιν ἐν ἐμοὶ σκότος καὶ ἐκτυφλοῖ με,
φῶς τῷ πλησίον γίνεται καὶ τοῖς ὁρῶσι λάμπει.
Καὶ ἵνα μὴ παράδοξα ὑποπτευθῶ σοι λέγειν,
ἄκουσον, καὶ λαλήσω σοι αἰνίγματος τὴν λύσιν·
νηστεύω ἴσως διὰ σέ, ἵνα φανῶ νηστεύων,
καὶ τοῦτο κέντρον μὲν ἐμοῦ τοῖς ὀφθαλμοῖς ὑπάρχει
καὶ ὡς δοκὸς ἐμπέπηκται μέσον ἐν τούτοις πάντως·
σὺ δὲ φωτίζῃ βλέπων με, εἰ μή με κατακρίνῃς,
ἀλλ' εἰ μεμφόμενος σαυτὸν ὡς γαστρίμαργον πάντως·
πρὸς γὰρ ἐγκράτειαν γαστρὸς καθοδηγῇ ἐκ τούτου
καὶ τῆς τρυφῆς ὑπερορᾶν προφανῶς ἐκμανθάνεις.
Πάλιν ἐγὼ ἐνδέδυμαι εὐτελῆ καὶ ῥακώδη
καὶ μονοχίτων ἐν παντὶ περιπατῶν νομίζω
δόξαν ἐκ τῶν ὁρώντων με καὶ ἔπαινον θηρᾶσθαι
καὶ ὡς ἀπόστολος αὐτοῖς ἄλλος νέος ὁρᾶσθαι,
καὶ τοῦτο γίνεται ἐμοὶ πάσης αἴτιον βλάβης
καὶ σκότος ὄντως καὶ παχὺ νέφος ἐν τῇ ψυχῇ μου·
τοὺς δὲ ὁρῶντας με λαοὺς φωτίζει καὶ διδάσκει
ὑπερφρονεῖν καλλωπισμοῦ, ὑπερφρονεῖν καὶ πλούτου
καὶ εὐτελοῦς ἀντέχεσθαι καὶ τραχείας ἐσθῆτος,
ὅπερ καὶ ἔστιν ἀληθῶς ἔνδυμα ἀποστόλων.
Οὕτως καὶ πᾶσαι αἱ λοιπαὶ τῶν ἀρετῶν γε πράξεις

D H K (O R) Z — METRUM XV

95 ἐν> Z ‖ 96 τῷ : τὸ H ‖ ὁρῶσιν D ‖ 97 ὑποπτευθῶ σοι : ὑποπτευθῶσι D ‖ 101 δοκὸς : δοκῶ D ‖ 102 σὺ : σὲ D ‖ 114 ἀμπέχεσθαι Z ‖ 116 οὕτω Z

99. Matth. 6, 16 — 100-101. Matth. 7, 3 — 106 s. Mc 6, 9

1. La position de Syméon est très évangélique et opposée au pharisaïsme. Il va la développer avec beaucoup de finesse en s'appuyant sur les paroles de Jésus. On trouvera un autre joli tableau de ces fausses dévotions dans la *Catéchèse* 28, 364-389, *SC* 113, p. 156-158.

car elles en sont loin, toutes les actions des hommes,
même ces actions[1] que nous accomplissons,
de notre côté, pour les autres qui vivent dans le mal :
on les dit lumière, car elles les conduisent vers le bien
et ce qui est en moi ténèbres et qui m'aveugle
devient lumière pour mon prochain et éclaire ceux qui me voient.

Et pour que tu ne me soupçonnes pas de soutenir des paradoxes,
écoute et je vais te livrer la clé de l'énigme :
je jeûne, mais c'est peut-être à cause de toi, pour qu'on me voie jeûner ;
et c'est cela qui à mes yeux est l'aiguillon
et qui tout simplement est fiché comme une poutre dans mes yeux.

Toi, tu es éclairé en me voyant, si tu ne me condamnes pas
mais que tu te blâmes toi-même en te traitant de vrai glouton.

Par là tu es conduit à la maîtrise de ton ventre
et tu apprends à mépriser ostensiblement la mollesse.
Ou encore je me suis vêtu de vêtements grossiers et en lambeaux
et je pense, quand je me promène, moi qui n'ai en tout qu'une tunique,
attirer gloire et louanges de la part de ceux qui me voient
et être considéré par eux comme un nouvel apôtre,
et cela devient pour moi la cause d'un grand dommage,
de vraies ténèbres et une brume épaisse dans mon âme,
mais cela éclaire le peuple qui me voit et lui apprend
à mépriser la coquetterie, à mépriser la richesse
et à chérir un vêtement fruste et rugueux,
ce qui est vraiment l'habit des apôtres.
De même toutes les autres actions vertueuses

πράξεις εἰσὶν ἐκτὸς φωτός, ἔργα ἀκτῖνος δίχα,
ὁμοῦ γὰρ συναγόμεναι πᾶσαι, ὥσπερ προεῖπον,
καὶ εἰς τὸ ἓν γινόμεναι αἱ ἐνάρετοι πράξεις,
εἴπερ καὶ ἔστι δυνατὸν ἐν ἀνθρώπῳ γενέσθαι,
λαμπάδι ἐξωμοίωνται φωτὸς ἐστερημένῃ.
Ὡς γὰρ οὐκ ἔστι λέγεσθαι πῦρ τοὺς καρβῶνας μόνους,
ἀλλ' οὐδὲ πάλιν ἄνθρακας οὐδὲ φλόγα τὰ ξύλα,
οὕτως οὐ πίστις ἅπασα, οὐκ ἔργα οὐδὲ πράξεις,
οὐκ ἐντολῶν ἐκπλήρωσις πῦρ, φλὸξ ἢ φῶς τὸ θεῖον
εἰσὶν ἄξια λέγεσθαι, οὐ γάρ εἰσι τῷ ὄντι,
ἀλλ' ὅτι δέξασθαι τὸ πῦρ, τῷ φωτί τε ἐγγίσαι
καὶ ἀναφθῆναι δύνανται ἀπορρήτῳ ἑνώσει,
τοῦτο ὑπάρχει ἀρετῶν ἔπαινός τε καὶ κλέος.
Καὶ διὰ τοῦτο ἄσκησις πᾶσα καὶ πᾶσαι πράξεις
ἐπιτελοῦνται παρ' ἡμῶν, ἵνα φωτὸς τοῦ θείου
ὥσπερ λαμπὰς μετάσχωμεν, ὡς ἓν κηρίον πάσας
προβαλλομένης τῆς ψυχῆς φωτὶ τῷ ἀπροσίτῳ·
μᾶλλον δὲ ὥσπερ πάπυρος ἐμβάπτεται κηρίῳ,
οὕτω ψυχὴ ταῖς ἀρεταῖς ἁπάσαις πιανθεῖσα
ὅλη ἀνάψει ἐξ αὐτοῦ, ὅσον ὁρᾶν ἰσχύσει,
ὅσον ἐν οἴκῳ τε αὐτῆς εἰσαγαγεῖν χωρήσει,
καὶ τότε φωτιζόμεναι αἱ ἀρεταὶ ὡς θείῳ
φωτὶ συγκοινωνήσασαι φῶς καὶ αὐταὶ καλοῦνται,
μᾶλλον δ' εἰσὶ καὶ αὗται φῶς φωτὶ συγκεκραμέναι,

D H K (O R) Z — METRUM XV

117 ἐκτὸς : ἐκ τοῦ K ‖ 120 ἔστιν D ‖ γενέσθαι ἐν ἀνθρώπῳ ∾ D ‖ 121 λαμπάδα Z ‖ ἐστερημένοι H ἐστερημένην Z ‖ 122 καρβούνους H ‖ 123 οὐδὲ² : ἢ καὶ KZ ‖ 127 τε : σε D τὸ Z ‖ 128 ἑνώσει ἀπορρήτῳ ∾ D ‖ 131 ἡμῖν D ‖ 139 συγκοινωνήσασθαι D ‖ αὗται KZ ‖ 140 δ' : δὲ KZ

133. I Tim. 6, 16

1. Cf. 89. Ces répétitions qui viennent clore un raisonnement (24 et 41 ; 75 et 88) donnent beaucoup de vigueur à cet Hymne.

sont des actions sans lumière, des œuvres privées de rayonnement,
car si on les prend toutes ensemble, comme je l'ai déjà dit[1],
et qu'on les réunit en une seule, les actions vertueuses,
à supposer qu'il soit possible qu'elles se trouvent (toutes) dans un homme,
sont pareilles à une lampe privée de lumière.
De même que des charbons seuls ne peuvent s'appeler du feu
et pas davantage du bois ne s'appelle braise ou flamme,
de même, ni la foi totale ni les œuvres ni les actions
ni l'observance des commandements ne sont dignes de s'appeler
le feu, la flamme ou la lumière divine : car elles ne le sont pas en réalité.
Mais qu'elles puissent recevoir le feu[2],
s'approcher de la lumière et s'y allumer dans une union indicible,
voilà la louange et la gloire des vertus.
C'est pour cette raison que nous pratiquons toute cette ascèse
et toutes ces actions, pour avoir part à la lumière divine
comme une lampe ; car l'âme les tend toutes
comme un cierge unique vers la lumière inaccessible.
Ou plutôt, comme on plonge du papyrus dans la cire,
de même l'âme, imprégnée de toutes ces vertus,
s'allumera tout entière à cette lumière, dans la mesure où elle aura la force de voir
